eul_wid: hps-ae

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Theophorumenae Fragments Known Elsewhere

*Ἀποσπάσματα Θεοφορουμένης*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 εἴ τις

book 1.2 προσελθών μοι θεῶν λέγοι “Κράτων, ἐπὰν ἀποθάνῃς, αὖθις ἐξ ἀρχῆς ἔσῃ· ἔσῃ δ’ ὅ τι ἂν βούλῃ, κύων, πρόβατον, τράγος, ἄνθρωπος, ἵππος· δὶς βιῶναι γάρ

book 1.3 σε δεῖ· εἱμαρμένον

book 1.4 τοῦτ’ ἐστίν· ὅ τι βούλει δ’ ἑλοῦ”· “ἅπαντα μᾶλλον”, εὐθὺς εἰπεῖν ἂν δοκῶ, “πόει με

book 1.5 πλὴν ἄνθρωπον· ἀδίκως εὐτυχεῖ κακῶς

book 1.6 τε πράττει

book 1.7 τοῦτο τὸ ζῷον μόνον. ὁ κράτιστος ἵππος ἐπιμελεστέραν ἔχει ἑτέρου θεραπείαν· ἀγαθὸς ἂν γένῃ κύων, ἐντιμότερος εἶ τοῦ κακοῦ κυνὸς

book 1.8 πολύ· ἀλεκτρυὼν γενναῖος ἐν ἑτέρᾳ

book 1.9 τροφῇ ἐστιν, ὁ δ’ ἀγεννὴς καὶ δέδιε τὸν κρείττονα. ἄνθρωπος ἂν ᾖ

book 1.10 χρηστός, εὐγενής, σφόδρα γενναῖος, οὐδὲν ὄφελος ἐν τῷ νῦν γένει· πράττει δ’ ὁ κόλαξ ἄριστα πάντων, δεύτερα ὁ συκοφάντης, ὁ κακοήθης

book 1.11 τρίτα λέγει. ὄνον γενέσθαι κρεῖττον ἢ τοὺς

book 1.12 χείρονας ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.”

book 2 ὁ πλεῖστον νοῦν ἔχων μάντις τ’ ἄριστός ἐστι σύμβουλός θ’ ἅμα.

book 3.1 καὶ ταχὺ πάλιν τὸ πρῶτον

book 3.2 περισοβεῖ ποτήριον αὐτοῖς ἀκράτου.

book 4 μέσως μεθύων 〈τὴν〉 Θηρίκλειον ἔσπασεν.

book 5 ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης·